λεῖταί με ἐκ πάσης θλίψεως. [25]καὶ εἶπεν Σαουλ πρὸς Δαυιδ Εὐλο- 25
γημένος σύ, τέκνον, καὶ ποιῶν ποιήσεις καὶ δυνάμενος δυνήσει.
καὶ ἀπῆλθεν Δαυιδ εἰς τὴν ὁδὸν αὐτοῦ, καὶ Σαουλ ἀνέστρεψεν εἰς
τὸν τόπον αὐτοῦ.
[1]Καὶ εἶπεν Δαυιδ ἐν τῇ καρδίᾳ αὐτοῦ λέγων Νῦν προστεθήσομαι 27
ἐν ἡμέρᾳ μιᾷ εἰς χεῖρας Σαουλ, καὶ οὐκ ἔστιν μοι ἀγαθόν, ἐὰν μὴ
σωθῶ εἰς γῆν ἀλλοφύλων καὶ ἀνῇ Σαουλ τοῦ ζητεῖν με εἰς πᾶν
ὅριον Ισραηλ, καὶ σωθήσομαι ἐκ χειρὸς αὐτοῦ. [2]καὶ ἀνέστη Δαυιδ 2
καὶ οἱ τετρακόσιοι ἄνδρες μετ᾽ αὐτοῦ καὶ ἐπορεύθη πρὸς Αγχους
υἱὸν Αμμαχ βασιλέα Γεθ. [3]καὶ ἐκάθισεν Δαυιδ μετὰ Αγχους ἐν Γεθ, 3
αὐτὸς καὶ οἱ ἄνδρες αὐτοῦ, ἕκαστος καὶ ὁ οἶκος αὐτοῦ, καὶ Δαυιδ
καὶ ἀμφότεραι αἱ γυναῖκες αὐτοῦ Αχιναομ ἡ Ιεζραηλῖτις καὶ Αβι-
γαια ἡ γυνὴ Ναβαλ τοῦ Καρμηλίου. [4]καὶ ἀνηγγέλη τῷ Σαουλ ὅτι 4
πέφευγεν Δαυιδ εἰς Γεθ, καὶ οὐ προσέθετο ἔτι ζητεῖν αὐτόν. [5]καὶ 5
εἶπεν Δαυιδ πρὸς Αγχους Εἰ δὴ εὕρηκεν ὁ δοῦλός σου χάριν ἐν
ὀφθαλμοῖς σου, δότωσαν δή μοι τόπον ἐν μιᾷ τῶν πόλεων τῶν
κατ᾽ ἀγρὸν καὶ καθήσομαι ἐκεῖ· καὶ ἵνα τί κάθηται ὁ δοῦλός σου
ἐν πόλει βασιλευομένῃ μετὰ σοῦ; [6]καὶ ἔδωκεν αὐτῷ ἐν τῇ ἡμέρᾳ 6
ἐκείνῃ τὴν Σεκελακ· διὰ τοῦτο ἐγενήθη Σεκελακ τῷ βασιλεῖ τῆς
Ιουδαίας ἕως τῆς ἡμέρας ταύτης. [7]καὶ ἐγενήθη ὁ ἀριθμὸς τῶν 7
ἡμερῶν, ὧν ἐκάθισεν Δαυιδ ἐν ἀγρῷ τῶν ἀλλοφύλων, τέσσαρας
μῆνας. [8]καὶ ἀνέβαινεν Δαυιδ καὶ οἱ ἄνδρες αὐτοῦ καὶ ἐπετίθεντο 8
ἐπὶ πάντα τὸν Γεσιρι καὶ ἐπὶ τὸν Αμαληκίτην· καὶ ἰδοὺ ἡ γῆ κατῳ-
κεῖτο ἀπὸ ἀνηκόντων ἢ ἀπὸ Γελαμψουρ τετειχισμένων καὶ ἕως γῆς
Αἰγύπτου. [9]καὶ ἔτυπτε τὴν γῆν καὶ οὐκ ἐζωογόνει ἄνδρα καὶ γυ- 9
ναῖκα καὶ ἐλάμβανεν ποίμνια καὶ βουκόλια καὶ ὄνους καὶ καμήλους
καὶ ἱματισμόν, καὶ ἀνέστρεψαν καὶ ἤρχοντο πρὸς Αγχους. [10]καὶ 10
εἶπεν Αγχους πρὸς Δαυιδ Ἐπὶ τίνα ἐπέθεσθε σήμερον; καὶ εἶπεν

25 ευλογημενον A† | τεκνον] + δαυιδ *OL*† | την οδον ... τον τοπον] tr. B† | ανεστρεψεν B$O^{-A}$] απεστρ. A†, επεστρ. *L*

27 1 ανη] ανει $O^{247}$†, εαν η B$O^{376}$†, ηλθεν A†, + απ εμου *L* || 2 δαυιδ] + και διεβη αυτος A*L*†, + αυτος $O^{-A}$† | τετρακ.] εξακοσιοι A*L* ($O^{-A}$ om. numerum: cf. 30 21): cf. 30 9 | μετ] pr. οι A$L^{p}$ | και επορ. > B | αμμαχ B(†)] μωαβ *O*†, αχιμααν *L*† || 3 εν γεθ > B | ιεζραηλιτις $L^{p}$] ειζρ. A†, ισρ. B || 5 ο δουλος σου / χαριν] tr. $O^{-A}$*L* || 6 αυτω] + αγχους *OL*† ($O^{-A}$ αχους, *L* ακχους: item aliis locis; cf. III 2 39) | σεκελακ bis B] -λαγ *L*, σικελαγ *O* (-λαχ $O^{376}$†): item in 30 1. 14. 26 II 1 1 4 10, sed A† σικελα in I 30 14; cf. Ios. 15 31 19 5 | σεκελακ 1⁰⌒2⁰ A || 7 ων εκαθ. / δαυιδ] tr. A† | αγρω] οδω B† | τεσσαρας μηνας] μηνες τεσσαρες *L*†, pr. ημερας A†, ωσει τεσσαρες μηνες $O^{-A}$† || 8 γεσιρι] γεσερι (uel sim.) και τον γεζραιον ($O^{-A}$ σ pro ζ) *O*†, εγγιζοντα και εξετεινον επι τον γε(σ)σουραιον και τον ιεξραιον *L* | η γη / κατωκ.] tr. *OL*† | ανηκ. — γελαμψουρ] γελαμσουρ απο ανηκ. *O*†, γε(σ)σουρ *L*† | τετειχ. > *L*† | γης] της B || 9 ετυπτε] + δαυιδ *O*† | ανεστρεψαν B†] -ψε uel -φεν $O^{-A}$†, επεστρεψαν A†, ανεστρεφον *L* | ηρχετο $O^{-A}$†